Θρᾳκῶν · Χαρακτηρισμός.

Περὶ Κακολογίας.

Θεόφρ. Χαρακτῆρες.

«ὁ δὲ κακολόγος τοιόσδε τις ἐστίν, οἷος ἐρωτηθείς, ὁ δεῖνα τίς ἐστι; καθάπερ οἱ γενεαλογοῦντες, πρῶτον ἀπὸ τοῦ γένους αὐτοῦ ἄρξασθαι· ὁ μὲν πατὴρ Σωσίας ἐξ ἀρχῆς ἐκαλεῖτο, ἐγένετο δ' ἐν τοῖς στρατιώταις Σωσίστρατος, ἐπειδὴ δ' εἰς τοὺς δημότας ἐνεγράφη· ἡ μέντοι μήτηρ εὐγενὴς Θρᾷττα ἐστί· τὰς δὲ τοιαύτας ἐν τῇ πατρίδι εὐγενεῖς εἶναι φασιν. αὐτὸς δὲ οὗτος ὡς ἐκ τοιούτων γεγονὼς κακὸς καὶ μαστιγίας» ϗ τοῖς πλησίον, αὗται αἱ γυναῖκες ἐκ τῆς ὁδοῦ τοὺς παριόντας ἁρπάζουσι»

Στράβων Γ. Σελ. 222-4

c. 164. 28. Πρὸς δὲ τὴν ἀνδρείαν τὴν τοιαύτην πολλὰ ϗ εἴρηται ϗ μνημονεύεται περὶ πάντων κοινῇ τῶν Ἰβηρικῶν ἐθνῶν, διαφερόντως δὲ τῶν προσβόρρων, ὃ μόνον τὰ πρὸς ἀνδρείαν ἀλλὰ ϗ τὰ πρὸς ὠμότητα ϗ ἀπόνοιαν θηριώδη. ϗ γὰρ τέκνα μητέρες ἔκτειναν πρὶν ἁλῶναι κατὰ τὸν πόλεμον τὸν ἐν Καντάβροις, ϗ παιδίον δὲ δεδεμένων αἰχμαλώτων τῶν γονέων ϗ ἀδελφῶν ἔκτεινε πάντας κελευσθὲν ὑπὸ τοῦ πατρὸς σιδήρου κυριεῦσαν, γυνὴ δὲ τοὺς συν-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Θρᾳκῶν χαρακτηρισμοί

ἀγόντας. κηδεύει δέ τις ἐπ' κεδυσμένους ἔσωζεν αὐτὸν εἰς οἶκον. κοινὰ δὲ ϗ ταῦτα πρὸς τὰ Κελτικὰ ἔθνη ϗ τὰ Θρᾴκια ϗ Σκυθικά, κοινὰ δὲ ϗ [τὰ] πρὸς ἀνδρείαν τείνοντα τῶν τε ἀνδρῶν ϗ τῶν γυναικῶν. γεωργοῦσιν αὗται τεκοῦσαί τε διακονοῦσι τοῖς ἀνδράσιν ἐκείνους ἀνθ' ἑαυτῶν κατακλίνασαι

Ζ. Στρ 407 c.296 3 Λέγει δὲ τοὺς Μυσοὺς ὁ Ποσειδώνιος καὶ ἐμψύχων ἀπέχεσθαι κατ' εὐσέβειαν, διὰ δὲ τοῦτο ϗ θρεμμάτων· μέλιτι δὲ χρῆσθαι ϗ γάλακτι, ϗ τυρῷ ζῶντας καθ' ἡσυχίαν, διὰ δὲ τοῦτο καλεῖσθαι θεοσεβεῖς ϗ καπνοβάτας· εἶναι δέ τινας τῶν Θρᾳκῶν οἳ χωρὶς γυναικὸς ζῶσιν, οὓς κτίστας καλεῖσθαι, ἀνιερῶσθαί τε διὰ τιμὴν ϗ μετὰ ἀδείας ζῆν. τούτους δὴ συλλήβδην ἅπαντας τὸν ποιητὴν φάναι ἀγαυοὺς ἱππημολγοὺς γαλακτοφάγους ἀβίους τε, δικαιοτάτους ἀνθρώπους.

Συνέχεια
ἰδὲ ἐν λ. Μυ-
σοὶ δ. συμβ.

Θρᾷκες.

(ὁ Ἀλέξανδρος ἐπιστρέψας ἐπὶ τοὺς Τριβαλλοὺς ϗ καταλαβὼν αὐτοὺς στρατοπεδεύοντας, ὅτε ἤδη ὠθούμενοι ἐκ τοῦ ἱππικοῦ τῶν Μακεδόνων ϗ τῆς φάλαγγος ἐτράπησαν ἐς φυγήν.

ΙΙΙ ἐπειδὴ ὁ Ἀλέξανδρος τῇ τρίτῃ ἡμέρᾳ ἔφθασεν εἰς τὸν Ἴστρον.....ἐνταῦθα εὗρεν ἐλθούσας δι' αὐτὸν μακρὰς ναῦς ἐκ Βυζαντίου διὰ τοῦ Εὐξείνου ταύτας ἐκπλήσας τοξοτῶν ϗ ὁπλιτῶν τῇ νήσῳ ἐ-

Βιβλ. 1. Κεφ. 3. πέπλει, ἵνα οἱ Τριβαλλοί τε ϗ οἱ Θρᾷκες συμπεφευγότες ἦσαν - - - - - ϗ ὅσα μονόξυλα πλοῖα ἐκ τῆς χώρας συναγαγὼν . . . . . διεβίβασεν ἐς αὐτὴν τῆς στρατιᾶς ὅσον δυνατόν . . . . . ”

„ Δ. ἐνταῦθα ἀφικνοῦντο πρέσβεις ὡς Ἀλέξανδρον, παρά τε τῶν ἄλλων ὅσα αὐτόνομα ἔθνη προσοικεῖ τῷ Ἴστρῳ, ϗ παρὰ Σύρμου τοῦ Τριβαλλῶν βασιλέως. . . . .

„ Ε. Αὐτὸς δὲ ἐς Ἀγριᾶνας ϗ Παίονας προὐχώρει. ἔνθα δὴ ἄγγελοι ἀφίκοντο αὐτῷ, Κλεῖτόν τε τὸν Βαρδύλεω ἀφεστάναι ἀγγέλλοντες, ϗ Γλαυκίαν προσκεχωρηκέναι αὐτῷ τὸν Ταυλαντίων βασιλέα. οἱ δὲ